# Σαμοθράκη.

« Ἐπιγενομένου δὲ μεγάλου χειμῶνος καὶ τῶν ἀρι- Διοδ. Σικ.
στέων (1) ἀπογινωσκόντων τὴν σωτηρίαν, φασὶν Ὀρφέα, Δ΄ 43
τῆς τελετῆς μόνον τῶν συμπλεόντων μετεσχηκότα, ποι- σ. 393.
ήσασθαι τοῖς Σαμόθραξι τὰς ὑπὲρ τῆς σωτηρίας εὐχάς.
εὐθὺς δὲ τοῦ πνεύματος ἐνδόντος, καὶ δύο ἀστέρων ἐπὶ
τὰς τῶν Διοσκούρων κεφαλὰς ἐπιπεσόντων, ἅπαντας μὲν
ἐκπλαγῆναι τὸ παράδοξον, ὑπολαβεῖν δὲ θεῶν προνοίᾳ
τῶν κινδύνων ἑαυτοὺς ἀπηλλάχθαι. διὸ καὶ τοῖς ἐπιγι-
νομένοις παραδόσιμον γεγονέναι τὴν περιπέτειαν, ἀεὶ
τοὺς χειμαζομένους τῶν πλεόντων εὐχὰς μὲν τίθεσθαι
τοῖς Σαμόθραξι, τὰς δὲ τῶν ἀστέρων παρουσίας ανα-
πέμπειν εἰς τὴν τῶν Διοσκούρων ἐπιφάνειαν. »

« . . τοῦ δ' Ὀρφέως, καθάπερ καὶ πρότερον εὐχὰς ποιη- " 48
σαμένου τοῖς Σαμόθραξι, λῆξαι μὲν τοὺς ἀνέμους, φανῆ- σ. 400
ναι δὲ πλησίον τῆς νεὼς τὸν προσαγορευόμενον θα-
λάττιον Γλαῦκον

(1) Κατὰ τὴν Ἀργοναυτικὴν εκστρατείαν.

# Σαμοθρᾴκη.

Διοδ. Σικ. « . . . τοὺς δ' Ἀργοναύτας φασὶν ἐκ τῆς Τρῳάδος ἀ-
δ' 49 ναχθέντας εἰς Σαμοθρᾴκην κομισθῆναι, καὶ τοῖς με-
σ. 402 γάλοις θεοῖς τὰς εὐχὰς ἀποδόντας πάλιν ἀναθεῖ-
ναι τὰς φιάλας εἰς τὸ τέμενος τὰς ἔτι καὶ νῦν διαμε-
νούσας. »

" 64 « . . ἔνιοι δ' ἱστοροῦσιν, ὧν ἐστι καὶ Ἔφορος, τοὺς Ἰδαί-
σ. 75 ους Δακτύλους γενέσθαι μὲν κατὰ τὴν Ἴδην τὴν ἐν
Φρυγίᾳ, διαβῆναι δὲ μετὰ Μύγδονος εἰς τὴν Εὐ-
ρώπην· ὑπάρξαντας δὲ γόητας ἐπιτηδεῦσαι τάς τε
ἐπῳδὰς καὶ τελετὰς καὶ μυστήρια, καὶ περὶ Σαμοθρᾴ-
κην διατρίψαντας οὐ μετρίως ἐν τούτοις ἐκπλήττειν
τοὺς ἐγχωρίους. »

" 77 « τήν τε γὰρ παρ' Ἀθηναίοις ἐν Ἐλευσῖνι γινομέ-
σ. 91 νην τελετήν, ἐπιφανεστάτην σχεδὸν οὖσαν ἁπα-
σῶν, καὶ τὴν ἐν Σαμοθρᾴκῃ καὶ τὴν ἐν Θρᾴκῃ
ἐν τοῖς Κίκοσιν, ὅθεν ὁ καταδείξας Ὀρφεὺς ἦν, μυστι-
κῶς παραδίδοσθαι, κατὰ δὲ τὴν Κρήτην ἐν Κνωσῷ νόμι-
μον ἐξ ἀρχαίων εἶναι φανερῶς τὰς τελετὰς ταύτας πᾶσι παραδίδοσθαι. »